BISETVS. Ἡ τῆς Περσεφόνης θεράπαινα τὸν Διόνυσον, ὃν ἐκ τοῦ ῥοπάλου, καὶ τῆς λεοντῆς Ἡρακλέα εἶναι ᾤετο, A πρὸς εὐωχίαν ὑπὸ τῆς δεσποίνης ἤδη παρεσκευασθεῖσαν ἐξαπίνης προσκαλέσουσα ὁρμᾶται.

Θε. Ὦ φίλταθ' ἥκεις Ἡράκλεις; δεῦρ' εἴσιθι.
Ἡ γὰρ θεός, σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως
Ἔπεττεν ἄρτους, ἧψε κατερικτῶν χύτρας
Ἔτνους δύ' ἢ τρεῖς, βοῦν ἀπηνθράκιζ' ὅλον, B
Πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ' εἴσιθι.
Ξανθ. Κάλλιστ', ἐπαινῶ. Θε. μὰ τὸν Ἀπόλλω, οὐ μή σ' ἐγὼ
Περιόψομαι ἀπελθόντ'. ἐπεί τοι καὶ κρέα
Ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
Ἔφρυγε, κᾦνον ἀνεκεράννυ γλυκύτατον.
Ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. Ξανθ. πάνυ καλῶς. Δι. ληρεῖς ἔχων.
Οὐ γάρ σ' ἀφήσω. Θε. καὶ γὰρ αὐλητρίς γέ σοι C
Ἤδ' ἔνδον ἔσθ' ὡραιοτάτη, κὠρχηστρίδες,
Ἕτεραι δύ' ἢ τρεῖς. Ξανθ. πῶς λέγεις ὀρχηστρίδες;
Θε. Ἡβυλλιῶσαι, κἄρτι παρατετιλμέναι.
Ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
Ἤμελλ' ἀφαιρεῖν, χἠ τράπεζ' εἰσῄρετο.
Ξανθ. Ἴθι νυν, φράσον πρώτιστα ταῖς αὐλητρίσι, D
Ταῖς ἔνδον οὔσαις, αὐτὸς ὡς εἰσέρχομαι.
Ὁ παῖς, ἀκολούθει δεῦρο, τὰ σκεύη φέρων.
Δι. Ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποεῖς
Ὁτιή σε παίζων Ἡρακλέα γ' ἐσκεύασα;
Οὐ, μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
Ἀλλ' ἀράμενος γ' οἴσεις πάλιν τὰ στρώματα.
Ξανθ. Τί δ' ἐστίν; οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ E
Ἃ δέδωκας αὐτός; Δι. οὐ τάχ'. ἀλλ' ἤδη ποιῶ.
Κατάθου τὸ δέρμα. Ξανθ. ταῦτ' ἐγὼ μαρτύρομαι.
Καὶ τοῖς θεοῖσιν ἐπιτρέπω. Δι. ποίοις θεοῖς;
Τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενόν,
Ὡς δοῦλος ὤν, καὶ θνητὸς Ἀλκμήνης ἔσει; F
Ξανθ. Ἀμέλει. καλῶς ἔχ' αὔτ'. ἴσως γάρ τοι ποτὲ
Ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.

*FA. Venistin' Hercules optatissime? age, age*
*Intra. nam Dea postquàm hoc resciuit, statim*
*Panes subegit, sumptisq; ollis, ex fabis*
*Fresis duas aut tres pultes coxit: bouem*
*Assauit integrum: placentas torruit*
*Quadrangulas, recentes: age, modò intrò abi.*
*XA. Facio tibi gratiam. FA. non ego te, ita me bonus*
*Apollo amet, hinc abire sinam: quandoquidem hera*
*Etiam carnes pullorum elixauit tibi,*
*Frixitq; tragemata: & vinum diluit*
*Dulcissimum: age vnà mecum ingredere. XA. Gratia est.*
*BA. Nugas agis: neque enim ego te ingredi sinam.*
*FA. Sed & tibicina intus est pulcerrima,*
*Et saltatrices, & duæ meretriculæ,*
*Aut tres. XA. quas tu saltatrices dicis mihi?*
*FA. Pubescentes, & vellicatas hîc modò.*
*Sed abi intrò. nam cocus tomacula nunc erat*
*Detracturus foco, & mensa illata st. XA. age*
*Dic tu tibicinis, me ingressurum statim.*
*Puer heus, sequere me huc, & fer tecum stragula.*
*BAc. Siste gradum, an tu conuertas istud seriam*
*In rem: ioco quòd ex te fecerim Herculem?*
*Absit: ne ineptias, mi serue Xanthia:*
*Sed tolle tu & fer ista tecum stragula.*
*XA. Quid hoc rei? an rursum mihi adimere cogitas,*
*Quæ tute dederas? BA. non cogito: sed hoc iam ago.*
*Depone pellem. XA. herum te testem mihi cito:*
*Et rem Deis committo. BA. quibus Deus, cedò?*
*Hoccine te sperare ausum vanum & stupidum hominem,*
*Qui seruus & mortalis cùm sis, nunc Iouis*
*Et Alcmenæ dicare? XA. ne cures: benè*
*Hoc iam habet: egebis me breui: vbi Deus volet.*

Σχόλια. Κατερικτῶν χύτρας.] τῶν κατακεκομμένων ὀσπρείων. λέγει δὲ τὰ σχιζόμενα ὄσπρεια τοὺς κυάμους, τὰ ἐρεικόμενα. καὶ τὴν ἐρείγμην δέ, ἐντεῦθεν ὁμολογοῦσί τινες. Ἔτνους.] ὃ νῦν φάβα οἱ ἰδιῶται καὶ οἱ ἄγροικοι, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως καὶ τῆς τορύνης. τορύνη δὲ ὁ χυτρόπους. ἄλλως Πρῶτον εἰπὼν καθολικῶς κατερικτῶν ἤτοι κατεσχισμένων ὀσπρείων, ἐπεὶ οὐδὲν ἄλλο τῶν ὀσπρείων σχίζομεν ἀλλ' ἢ τοὺς κυάμους, ὅταν ἔτνος ποιῆσαι θέλωμεν, ἐπήγαγε, τὸ ἔτνους. ἔχαιρε γὰρ τούτῳ πάνυ ὁ Ἡρακλῆς. ἢ τὸ ἔτνους, ἑρμηνεία τοῦ κατερικτῶν. Κολλάβους.] τοὺς ἄρτους λέγει, τοὺς ἐοικότας G τὴν πλάσιν τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου. ἢ ἄρτου μικροῦ. παρὰ τὸ ἐκ μεγάλων κολλυβίζεσθαι. ἄλλως. ἄρτοι νέοι ἐκ νεοπύρων. καὶ οἱ λάσαυροι ὑπὸ σικυωνίων λέγονται. καὶ ἡ νευρὰ τοῦ ὀργάνου. Πάνυ καλῶς.] παραιτούμενοι οἱ παλαιοί, ἔλεγον κάλλιστ' ἐπαινῶ. καὶ ἐπῄνουν. νῦν οὖν παραιτούμενος εἰσιέναι φησὶν ὁ θεράπων ἀντὶ τοῦ ἐᾶσον. Ληρεῖς ἔχων.] τοῦτο λέγει κρατῶν αὐτὸν ὁ Διόνυσος, καὶ μὴ συγχωρῶν εἰσελθεῖν ἅμα τῇ θεραπαίνῃ τῆς Περσεφόνης. περιττὸν δὲ τὸ ἔχων. Καὶ γὰρ αὐλητρίς.] αὕτη ἡ κατασκευὴ πρὸς τὸ ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. Ἡβυλλιῶσαι.] ἡβῶσαι, καὶ αἰσχρῶς τιλλου-